GREEK Quiz #4a1 Open book, Notes, and Computer (Mounce Chap 1-4) Name ____________________
Date __________________

**Vocabulary** : Give the English Meaning for the following vocabulary words.

| # | Ch | **λογος** | Genati | Gender | English Meaning |
|---|---|---|---|---|---|
| 5 | 4 | **Γαλιλαια** | ασ | ἡ | |
| 6 | 4 | **γραφή** | ης | ἡ | |
| 7 | 4 | **δόξα** | ην | ἡ | |
| 8 | 4 | **ἐγώ** | | | |
| 18 | 4 | **σάββατον** | ου | τό | |

Carefully read aloud the following verses watching pronunciations, diphthongs, and syllabification.
ΙΩΑΝΝΟΥ Β

1 Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος,
ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν,
2 διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ ἡμῶν ἔσται εἰς τὸν αἰῶνα·
3 ἔσται μεθ ὑμῶν χάρις, ἔλεος, εἰρήνη παρὰ Θεοῦ πατρὸς καὶ παρὰ **Κυρίου** Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ
τοῦ πατρός, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ. (The emboldened “Lord” was ripped out of the corrupt W&H Greek text.)
4 Ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν
παρὰ τοῦ πατρός.
5 καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν γράφων σοι καινήν, ἀλλὰ ἣν εἴχομεν ἀπ᾿ ἀρχῆς, ἵνα
ἀγαπῶμεν ἀλλήλους.
6 καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ. αὕτη ἐστιν ἡ ἐντολή, καθὼς
ἠκούσατε ἀπ᾿ ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε.
7 ὅτι πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν
σαρκί· οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος.
8 βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν.
9 πᾶς ὁ **παραβαίνων** καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ Θεὸν οὐκ ἔχει· ὁ μένων ἐν τῇ διδαχῇ
**τοῦ Χριστοῦ**, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει. (προάγων substituted for **παραβαίνων** in corrupt W&H)
(The emboldened τοῦ Χριστοῦ was ripped out of the corrupt W&H Greek text.)
10 εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν
αὐτῷ μὴ λέγετε·
11 ὁ γὰρ λέγων αὐτῷ χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.
12 Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἠβουλήθην διὰ χάρτου καὶ μέλανος, ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς
καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη.
13 ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς· ἀμήν.